A μείζοσιν. αἰτίαι μὲν οὖν αὗται, καὶ αἱ παραπλήσιαι ταύταις ἄλλαι πλείους τοῦ ποιεῖσθαι συμμάχους εἰσίν. δεῖ δὲ ὅταν συναγορεύειν βούλῃ τῇ γινομένῃ συμμαχίᾳ, τὸν καιρὸν τοιοῦτον ὑπάρχοντα ἐμφανίζειν, καὶ δεικνύναι τοὺς τὴν συμμαχίαν ποιουμένους, μάλιστα μὲν δικαίους ὄντας, καὶ πρότερόν τι τῇ πόλει ἀγαθὸν πεποιηκότας, καὶ δύναμιν μεγάλην ἔχοντας, καὶ πλησίον τοῖς τόποις κατοικοῦντας· B εἰ δὲ μή, τούτων ἅπερ ἂν ὑπάρχῃ, ταῦτα συνάγειν. ὅταν δὲ διακωλύῃς τὴν συμμαχίαν, ἐμφανίζειν ἐνδέχεται, πρῶτον μὲν ὡς οὐκ ἀνάγκη ποιεῖσθαι νῦν αὐτήν· ἔπειθ᾽ ὡς οὐ δίκαιοι τυγχάνουσιν ὄντες, εἶθ᾽ ὡς πρότερον ἡμᾶς κακῶς πεποιηκότες. εἰ δὲ μή, ὡς μακρὰν τοῖς τόποις ἀπέχοντες, καὶ οὐχ ὑπάρχοντες δυνατοὶ κατὰ τοὺς προσήκοντας παραγενέσθαι καιρούς. C ταῖς μὲν οὖν ἀντιλογίαις καὶ ταῖς συνηγορίαις ταῖς περὶ τῶν συμμάχων, ἐκ τούτων καὶ τῶν τούτοις ὁμοιοτρόπων εὐπορήσομεν χρῆσθαι. περὶ εἰρήνης δὲ πάλιν καὶ πολέμου, τὸν αὐτὸν τρόπον τὰς μεγίστας ἰδέας ἐκλάβωμεν. προφάσεις μὲν οὖν εἰσι τοῦ πόλεμον ἐκφέρειν πρός τινας αὗται· δεῖ πρότερον ἀδικηθέντας, νῦν καιροῦ παραπεπτωκότος, ἀμύνασθαι τοὺς ἀδικήσαντας, D ἢ νῦν ἀδικουμένους ὑπὲρ ἑαυτῶν πολεμεῖν, ἢ ὑπὲρ συγγενῶν, ἢ ὑπὲρ εὐεργετῶν, ἢ συμμάχοις ἀδικουμένοις βοηθεῖν, ἢ τοῦ τῇ πόλει συμφέροντος ἕνεκεν, ἢ εἰς εὐδοξίαν, ἢ εἰς εὐπορίαν, ἢ εἰς δύναμιν, ἢ εἰς ἄλλο τι τῶν τοιούτων. ὅταν μὲν οὖν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τούτων τε τῶν προφάσεων ὅτι πλείστας συνακτέον, καὶ μετὰ ταῦτα δεικτέον, ἐξ ὧν ἐστι περιγενέσθαι τῷ πολέμῳ, ὅτι πλεῖστα E τούτων τοῖς παρακαλουμένοις ὑπάρχοντά ἐστι. περιγίνονται δὲ πάντες, ἢ διὰ τὴν τῶν θεῶν εὔνοιαν, ἣν εὐτυχίαν προσαγορεύομεν, ἢ διὰ σωμάτων πλῆθος καὶ ῥώμην, ἢ διὰ χρημάτων εὐπορίαν, ἢ διὰ στρατηγοῦ φρόνησιν, ἢ διὰ συμμάχων ἀρετήν, ἢ διὰ τόπων εὐφυΐαν. τούτων μὲν οὖν καὶ τῶν τοιούτων τὰ τοῖς πράγμασιν οἰκειότερα λαμβάνοντες, F ἐμφανιοῦμεν, ὅταν ἐπὶ τὸ πολεμεῖν παρακαλῶμεν, τὰ μὲν τῶν ἐναντίων ταπεινοῦντες, τὰ δ᾽ ἡμέτερα ταῖς αὐξήσεσι μεγάλα καθιστῶντες. ἐὰν δὲ πόλεμον μέλλοντα γίνεσθαι, διακωλύειν ἐπιχειρῶμεν, πρῶτον μὲν διὰ προφάσεων δεικτέον, ἢ παντελῶς οὐδεμίαν ὑπάρχουσαν, ἢ μικρὰς καὶ ταπεινὰς οὔσας τὰς δυσχερείας, ἔπειθ᾽ ὡς οὐ συμφέρει πολεμεῖν,

Hæ igitur sunt causæ, hísque consimiles, quibus plures nobis adsciscimus socios. Necesse est autem, cùm ineundã societatem persuadere volueris, eam maximè tempestiuam ostendas, declarésque, eos socios apprimè iustitiam colere, & benè antea rempublicam affecisse, esséque potentissimos, & in proximo residere. Quòd si minùs hæc omnia potueris, quæ suberunt, oratione complectere. Cùm autem societatem dissuaseris, primùm ostendas oportet, haud nunc eam facere opus esse, deinde quòd neque hi iusti sunt, postea verò quòd & malè nos priùs affecerint. Sin id minùs poterimus, dicemus eos à nobis porrò habitare, neque facultatem his esse, quò nobis opportunè adsint auxilio. Ex his igitur, hísque similibus circa faciundas, aut non faciundas societates, & dissuadendi, suadendíque vsum facilè cognoscemus. Rursus autem & pacis, & belli faciundi maxima nobis argumenta capiantur. Causæ itaque bellandi aduersus aliquos, sunt huiusmodi. Par autem est de iis tempestiuè nunc vltionem capiamus, qui nos antea iniuria lacessiuerunt: vt nunc iniuria prouocati, pro nobis ipsis, aut pro cognatis, aut pro iis, qui benefici erga nos fuerint, aut quò auxilio simus iniustè affectis sociis, aut publica pro vtilitate, aut ad gloriam, aut ad opes, aut ad vires, aut ad aliud quippiam huiusmodi bellum suscipiamus. Cùm igitur ad bellum voluerimus auditores exhortari, debemus ex his causis quàm plurimas dicẽdo complecti, ac demum demonstrare eorum plurima, quibus bellantes superiores fiant, ipsis auditoribus adesse. Superiores etenim omnes fiunt, aut Deorum beneuolentia, quam bonam Fortunam appellauerimus: aut corporum multitudine, atque robore, aut pecuniarum affluentia, atque imperatoris prudentia, aut virtute sociorum, aut opportunitate locorum. Ex his igitur, & similibus, quæ maximè rei congruant, bellum sumi oportere exhortabimur, aduersariorum partes deprimendo, nostras autem agendo, atque amplificando. Quòd si futurum bellum impedire studuerimus, primùm eę causæ inueniẽdæ sunt, quibus demonstretur aut omnino, aut nullam, aut paruas, humilésque molestias afferri, quibus ad bellum rapiamur. Deinde quòd bellum minimè conducit,